Τὰ καλῶς καὶ πρεπόντως σκέψεσιν ὀρθαῖς καὶ λόγοις δικαίοις καὶ ἀναγκαίοις κριθέντα καὶ ὁρισθέντα καὶ τούτων μάλιστα ὅσα τὴν εὐρυθμίαν, καὶ εὐστάθειαν Ἱερῶν τοῦ Θεοῦ Σκηνωμάτων ἀντικείμενον ἔχοντα σωτήριος μὲν καὶ θεοφιλὴς ὑπηγόρευσε πόθος καὶ σκοπὸς βέλτιστα δὲ ὑπισχνεῖται τὰ ἀποτελέσματα ἡ ὑπὲρ αὐτῶν ἀναλόγως τῷ καιρῷ καὶ ταῖς περιστάσεσι καταβληθεῖσα μέριμνα καὶ κατὰ Θεὸν προσπάθεια, ταῦτα, φαμέν, καὶ διὰ θεσπισμάτων Συνοδικῶν καὶ ἐπισήμων πράξεων κατοχυροῦσθαι ἐπάναγκες, ἐφ' ὧν ὡς ἐπὶ κρηπίδων ἀσφαλῶν ἐρηρασμένα, μόνιμον καὶ διηνεκῆ καὶ ἀπαράλλακτον τῆς ὑπ' αὐτῶν ὠφελείας καὶ ἐνέργειαν παρέξουσιν, ὅ δη καὶ ἐπὶ τοῦ παρόντος ποιούμεθα. Καὶ γὰρ ἐν τῇ πρὸ τεσσάρων καὶ ἐπέκεινα χρόνων διενεργηθείσῃ ὑπὸ τοῦ κατ' ὑψηλὴν ἀνακτορικὴν διαταγὴν σχηματισθέντος ἐν Βασιλευούσῃ Ἐθνικοῦ προσωρινοῦ Συμβουλίου ἀρίστῃ τακτοποίησει καὶ ἐπὶ τὸ βέλτιον διαρρυθμίσει τῶν Ἐκκλησιαστικῶν καὶ Ἐθνικῶν ἡμῶν πραγμάτων (καθ' ἃ διετρανώθη διὰ τῶν ἐσχάτως δημοσιευθέντων ἐν τύποις Κανονισμῶν αὐτοῦ) κατεβλήθη μὲν γενικώτερον πρόνοια καὶ ὑπὲρ πάντων τῶν ἐν ταῖς ἐπαρχίαις τοῦ καθ' ἡμᾶς Ἁγιωτάτου Οἰκουμενικοῦ θρόνου κειμένων Ἱερῶν Σταυροπηγιακῶν τε καὶ ἐνοριακῶν Μοναστηρίων καὶ ὅροις ἐξετέθησαν πραγματευόμενοι τὴν τῆς ἐνεστώσης ἑκάστου καταστάσεως ἀνάλογον βελτίωσιν, ἰδίως δὲ τὸ ἐθνικὸν ἐκεῖνο Συμβούλιον ἐπέστησε τὴν προσοχὴν ἐπὶ τῶν ἐν ταῖς ἐπαρχίαις Πωγωνιανῆς καὶ Βελλᾶς κειμένων Ἱερῶν Μοναστηρίων, ἤτοι τοῦ τῶν Ταξιαρχῶν ἐπιλεγομένου τῆς Γκούρας, τοῦ τῆς Κοιμήσεως τῆς Θεοτόκου, ἐπιλεγομένου τῆς Μολυβδοσκεπάστου καὶ τοῦ τῆς Κοιμήσεως τῆς Θεοτόκου ἐπιλεγομένου τῆς Βελλᾶς. Ὅτι μὲν γὰρ τὰ Ἱερὰ ταῦτα Μοναστήρια ἐν τοῖς πρόσθεν χρόνοις ἀγαθῆς ηὐμοίρησαν τάξεως καὶ διοικήσεως, καὶ ἔργοις ζήλου πατέρων θεοφιλῶν καὶ εὐλαβῶν ἀνδρῶν ἀκμάζοντα διετέλεσαν, εὔδηλον ἔκ τε πολλῶν ἄλλων δείξεων καὶ ἀφ' ὧν συγκεκρότηνται πεπροικισμένα Μετοχίων ἐν Βλαχίᾳ κειμένων, τὸ μὲν τῆς Γκούρας ἔχον ὑποκείμενα αὐτῷ δύω ἱερὰ Μοναστήρια, ἤτοι τὸ τῶν Ἀρχαγγέλων, ἐπιλεγόμενον Σταυρουπόλεως καὶ τὸ τῶν εἰσοδίων τῆς Θεοτόκου, ἐπιλεγόμενον Βάλλιας. Τὸ δὲ τῆς Μολυβδοσκεπάστου δύω ἐπίσης, ἤτοι τὸ τοῦ ἁγίου

Δημοτική Κεντρική Βιβλιοθήκη Κοντοσάς

Δημητρίου, ἐπιλεγόμενον Πράδου καὶ τὴν Σκήτην , ἐπιλεγομένην Κοδριενίου, τὸ δὲ τῆς Βελλᾶς ὡσαύτως δύω, ἤτοι τὸ , ἐπιλεγόμενον Πανιένι καὶ τὸ ἐπιλεγόμενον πάντα πεπλουτισμένα κτήμασιν εὐπροσόδοις καὶ μωσίαις καὶ ἄλλοις ἀναθήμασιν. Ἀλλ' ὅμως περιστάσεις ἀπό τινων χρόνων δειναί, ἔτι δὲ καὶ ὀλιγωρία τῆς εὐτάκτου αὐτῶν διοικήσεως, ἐπεμβάσεις δὲ ἰδιοτελεῖς καὶ ἄλλαι καταχρήσεις οὐ μόνον τῆς ἀρχαίας λαμπρότητος αὐτὰ ἀπεστέρησαν, ἀλλὰ καὶ εἰς ἐρειπιώδη καὶ ἀθλίαν κατάστασιν ἤγαγον, οὔτε πατέρας ἔχοντα τοὺς ἐνασκουμένους, οὔτε ἄλλο καὶ εἰς τὸ εἶναι καὶ λέγεσθαι Μοναστήρια περισῴζοντα, τὰ δὲ πλούσια εἰσοδήματα τά τε ἀπὸ τῶν κατὰ τόπων κτημάτων καὶ τὰ ἀπὸ τῶν ἐν Βλαχίᾳ Μετοχίων αὐτῶν εἰσπραττόμενα ἀκαταστάτως καὶ καταχρηστικῶς διαχειριζόμενα, οὐδοτιοῦν συνετέλουν εἰς εὐπρέπειαν αὐτῶν καὶ βελτίωσιν. Τὸ μὲν οὖν τῆς Γκούρας Σταυροπήγιον ὑπάρχον ἀνέκαθεν πρὸ τινων χρόνων ἐν τῇ συμβάσῃ ἐκεῖ πολιτικῇ ἀνωμαλίᾳ κατεδαφισθὲν καὶ μὴ τυχόν ἐς δεῦρο ἀνεγέρσεως ἐν ἐρειπίοις συνίσταται, ἑνὸς μόνον προσώπου ὑπὸ τίτλον ἡγουμένου διέποντος αὐτό τε καὶ τὰ κατὰ τὰς ἡγουμενίας τῶν ἐν Βλαχίᾳ Μετοχίων αὐτοῦ, περὶ ὧν καθὼς καὶ περὶ τῶν ἐκμισθώσεων τῶν κτημάτων αὐτῶν δειναὶ κατὰ καιροὺς ἀνεφύησαν ἀλληλομαχίαι καὶ διαπληκτισμοὶ μεταξὺ τῶν ἐγχωρίων πλησιοχώρων χριστιανῶν. Τὸ δὲ τῆς Μολυβδοσκεπάστου Σταυροπήγιον καὶ αὐτὸ πρότερον ὄν, προσηλώθη μὲν πρό τινων χρόνων διὰ συνοδικῆς πράξεως τῇ ἐπαρχίᾳ Πωγωνιανῆς ὑπὸ ὅρους ἐπωφελέσιν, ὅπως τὰ ἀπὸ τῶν κτημάτων τῶν ἐν Βλαχίᾳ Μετοχίων ἀποφερόμενα εἰσοδήματα πρωτίστως μὲν δαπανῶνται εἰς εὐστάθειαν καὶ εὐπρεπῆ συντήρησιν τῶν Ἱερῶν αὐτῶν Σκηνωμάτων, καὶ εἰς σύστασιν καὶ συντήρησιν κοινῆς Σχολῆς ἐν τῇ ἐπαρχίᾳ Πωγωνιανῆς πρὸς διδασκαλίαν καὶ ἐκπαίδευσιν τῆς ἐγχωρίου νεολαίας, χρησιμεύωσι δὲ καὶ πρὸς ἄνεσιν καὶ περίθαλψιν τῶν κατὰ καιροὺς ἀρχιερέων Πωγωνιανῆς, νεμομένων ἐπὶ τούτοις καὶ τὰ εἰσοδήματα τοῦ Χανίου Γραΐτζι, ἀρχαίου κτήματος τῆς ἐπαρχίας ταύτης, ἐν ᾧ καὶ ἱερὸς κεῖται Ναός, τιμώμενος ἐπὶ τῇ Γεννήσει τοῦ Κυρίου ἡμῶν, ἀλλ' οὐδ' οὕτως ἐπετεύχθη τῇ Μονῇ ταύτῃ ἡ ποθουμένη τακτοποίησις, μηδόλως διατηρηθέντων τῶν ὅρων ἐκείνων. Οὐχ ἧττον δὲ τὴν αὐτὴν διέτρεχεν ἀταξίαν καὶ ἀνωμαλίαν καὶ τὸ τῆς Βελλᾶς, ἀρχαιόθεν ἐνοριακὸν τυγχάνον. Τῆς γὰρ ἐπισκοπῆς Βελλᾶς πρὸ χρόνων συνενωθείσης ἐκκλησιαστικῇ ἀποφάσει μετὰ τῆς ἐπαρχίας Πωγωνιανῆς συνήνωται καὶ ἡ Μονὴ αὕτη καὶ ὑπήχθη τῇ Κυριαρχικῇ ἐξουσίᾳ τῶν τότε Ἀρχιερέων Βελλᾶς καὶ Πωγωνιανῆς ὁμοῦ μετὰ τοῦ ἐν Βλαχίᾳ Μετοχίου Παπιένι καὶ τῆς Σκήτης , ὕστερον δὲ προστεθείσης τῆς ἐπισκοπῆς Βελλᾶς τῇ Μητροπόλει Ἰωαννίνων προσετέθη ἐν αὐτῇ καὶ ἡ ρηθεῖσα Μονὴ. Ταύτην γοῦν τὴν κατάκριτον καὶ ἐφάμαρτον κατάστασιν τῶν θείων τούτων Σκηνωμάτων ἐκ μέσου ἆραι καὶ ἐπανορθῶσαι, ἔτι δὲ καὶ τὴν ἐκ τῆς ὀλεθρίου καὶ ἀνωμάλου διοικήσεως αὐτῶν προκύπτουσαν ἄδικον φθοράν, καὶ ὡς εἰπεῖν ἐκμετάλλευσιν τῶν εἰσοδημάτων αὐτῶν εἰς

Δημοτική Κεντρική Βιβλιοθήκη Κοζάνης

ἐπάρκειαν καὶ θεραπείαν ἐθνικῶν ἀναγκῶν μεθαρμόσαι διανοηθὲν τὸ ἐθνικὸν ἐκεῖνο προσωρινὸν Συμβούλιον, ἅμα δὲ ὑπ' ὄψιν καὶ διὰ φροντίδος τυχὸν πόρους διαρκεῖς καὶ μονίμους ἐξευρεῖν ἐπὶ προικισμῷ τοῦ Οἰκουμενικοῦ Θρόνου, ὥστε κατορθωθῆναι διὰ τοῦ μέτρου τούτου τὴν εἰς τὸ διηνεκὲς ἄμεμπτον ἐν ἀξιοπρεπείᾳ συντήρησιν τοῦ κατὰ καιροὺς Οἰκουμενικοῦ Πατριάρχου, ἧς ἕνεκα ἐπὶ τοῦ παρόντος, ἡ τοῦ Πατριαρχικοῦ σιτηρεσίου ὁρισθεῖσα ἐπιχορήγησις ἐκ πεντακοσίων χιλιάδων γροσίων ἐπετέθη εἰς βάρος τῶν ἐν ταῖς ἐπαρχίαις χριστιανῶν ἔγνω λίαν εὐστόχως καὶ προσηκόντως καὶ ἀπεφήνατο προσηλωθῆναι τὰ εἰσοδήματα τῶν εἰρημένων Μοναστηρίων τῷ Οἰκουμενικῷ Θρόνῳ, καταχωρηθείσης τῆς ἀποφάσεως ταύτης καὶ ἐν τοῖς ἐκδοθεῖσι κανονισμοῖς αὐτοῦ. Ἤδη δὲ συνδιασκεπτομένοις ἡμῖν μετὰ τῆς περὶ ἡμᾶς Ἱερᾶς Συνόδου καὶ τοῦ Διαρκοῦς Ἐθνικοῦ Μικτοῦ Συμβουλίου ὅπως καὶ πράγματι καὶ ἀληθεία προχωρήσωσιν τὰ τῆς σωτηριώδους τῶν Μονῶν τούτων μεταρρυθμίσεως, ἔδοξε κοινῶς ἀναγκαῖον καὶ ἀπαραίτητον, ἵνα μὴ μόνον τὰ εἰσοδήματα αὐτῶν εἰς προῖκα ἀπονεμηθῶσιν τῷ Οἰκουμενικῷ θρόνῳ, ἀλλὰ καὶ αὐτὰ τὰ Κυριαρχικὰ Μοναστήρια μετὰ τῶν Μετοχίων καὶ λοιπῶν κτημάτων αὐτῶν προσηλωθῶσι καὶ ὡς μέλη αὐτοῦ συμφυῆ συνενωθῶσι, προσαρτώμενα καὶ κτήματα καὶ πράγματα αὐτοῦ καθιστάμενα, ὃν τρόπον καὶ οἱ ἄλλοι πατριαρχικοὶ θρόνοι τοιαῦτα ἴδια κέκτηνται Μοναστήρια, προκαθορίζοντα τοῖς κυριάρχοις αὐτῶν τὰ πρὸς ἀξιοπρεπῆ καὶ ἄνετον αὐτῶν συντήρησιν. Ἄλλως γὰρ ἀπούσης τῆς ὁλοσχεροῦς ταύτης προσηλώσεως, ἥτινι φυσικῷ λόγῳ συνεπάγεται καὶ ἡ ἐπάγρυπνος πατριαρχικὴ ἐπίβλεψις καὶ προστασία, οὔτε ὁ τῶν εἰσοδημάτων πορισμὸς τῶν ἀναγκαίων ἕξει τάξιν τε καὶ ἀσφάλειαν, οὔτε ἐν οὐδενὶ δικαιώματι στηριζομένην, οὔτε ἡ ἀπαιτουμένη ἐπενεχθήσεται διόρθωσις τῇ ἐσωτερικῇ ἀθλίᾳ καὶ ἀσχήμονι αὐτῶν καταστάσει. Περὶ ἧς ὡς ἐφαμάρτου προφανῶς, καὶ μῶμον τῇ ἐκκλησίᾳ προστριβούσης, πολλῷ πλέον φροντιστέον ἐστίν. Ἔνθεν τοι κοινῇ ὁμοφώνῳ γνώμῃ ἡμῶν τε καὶ τῆς περὶ ἡμᾶς Ἱερᾶς Συνόδου καὶ πάντων τῶν μελῶν τοῦ διαρκοῦς ἐθνικοῦ μικτοῦ συμβουλίου ἐγκριθείσης εὐλόγου καὶ ἀναγκαιοτάτης τῆς περὶ ἧς ὁ λόγος πρὸς τὸν Πατριαρχικὸν Οἰκουμενικὸν θρόνον προσηλώσεως καὶ ὁλοσχεροῦς προσαρτήσεως τῶν διαληφθεισῶν ἱερῶν μονῶν δεῖν ἔγνωμεν κατασφαλῆσαι καὶ κατοχυρῶσαι ταύτην καὶ διὰ τοῦδε τοῦ πατριαρχικοῦ ἡμῶν καὶ συνοδικοῦ Σιγγιλλιώδους Γράμματος καθορίζοντος εἰδικώτερον ἐν κεφαλαίοις καὶ τὰ τῆς ἐσωτερικῆς τε ἐξωτερικῆς αὐτῶν κυβερνήσεως. Ἐφ' ᾧ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς Ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν ἡμῶν καὶ συλλειτουργῶν, ἵνα Α) τὰ ἐξονομασθέντα τρία Ἱερὰ μοναστήρια τά τε ἐν Πωγωνιανῇ κείμενα τῶν Ταξιαρχῶν Γκούρας καὶ τὸ τῆς Κοιμήσεως τῆς Θεοτόκου τῆς Μολυβδοσκεπάστου καὶ τὸ ἐν τῇ ἐπαρχίᾳ Βελλᾶς τιμώμενον ἐπ' ὀνόματι τῆς Κοιμήσεως τῆς Θεοτόκου καὶ ἐπιλεγόμενον Βελλᾶς ὑπάρχωσιν ἀπὸ τὸ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον, καὶ λέγονται καὶ παραπάντων γινώσκονται μετὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Κοζάνης

τε τῶν ἐν Βλαχίᾳ μετοχίων αὐτῶν .....καὶ μετὰ πάντων τῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτῶν τε καὶ τῶν μετοχίων αὐτῶν τῶν τε κατὰ τόπων καὶ τῶν ἐν Βλαχίᾳ κειμένων, ἤδη δὲ ὄντων καὶ εἰς ἔπειτα προστιθησομένων, συνηνωμένα ὁλοσχερῶς καὶ προσηλωμένα ἀδιασπάστως, τῷ ἁγιωτάτῳ Πατριαρχικῷ Οἰκουμενικῷ θρόνῳ κτήματα καὶ πράγματα αὐτοῦ ἀναφαίρετα ὄντα καὶ λογιζόμενα εἰς τὸ διηνεκές, ἀπρακτούντων καὶ ἀκύρων ὄντων τῶν πρὸ τοῦ παρόντος κατὰ καιροὺς ἐκδεδομένων περὶ αὐτῶν ἐκκλησιαστικῶν σιγγιλλίων Γραμμάτων, καὶ πάσης δι' αὐτῶν χορηγηθείσης σχέσεως, καὶ ἐπιμιξίας τῶν κατὰ τόπων ἀρχιερέων Ἰωαννίνων καὶ Πωγωνιανῆς καὶ Βελλᾶς ἀπρακτώσης καὶ καταργουμένης εἰς τὸ σύνολον. Β) Ἔστω πρὸ παντὸς καὶ διὰ παντὸς καὶ καταβαλλέσθω κυριωτέρα σύντονος πρόνοια ἡ φροντὶς τοῦ τε κατὰ καιροὺς Οἰκουμενικοῦ Πατριάρχου μετὰ τῆς Ἱερᾶς Συνόδου καὶ τοῦ διαρκοῦς Ἐθνικοῦ Μικτοῦ Συμβουλίου ὑπὲρ τῆς ἀξιοπρεποῦς συντηρήσεως πάντων τῶν ἱερῶν τούτων καταγωγίων τῶν τε κυριαρχικῶν καὶ τῶν ἐν Βλαχίᾳ Μετοχίων αὐτῶν, ἐξαιρῶνται δὲ διὰ παντὸς ἀπὸ τῶν ἀποφερομένων μοναστηριακῶν εἰσοδημάτων αὐτῶν τὰ ἀναγκαῖα χρηματικὰ ποσὰ πρὸς τὴν ἐπαρκῆ συντήρησιν καὶ τὴν εὐπρέπειαν ἑνὸς ἑκάστου, διαφυλαττομένης ἀείποτε ἐν αὐτοῖς ὡς ἱεροῖς τοῦ Ὑψίστου Σκηνώμασι τῆς ἀπαιτουμένης Μοναστηριακῆς εὐσχημοσύνης ἐπὶ σεβασμῷ καὶ πνευματικῇ ὠφελείᾳ τῶν εἰσιόντων χριστιανῶν, καὶ ἐκτελουμένων ἀενάως τῶν τεταγμένων ἱερῶν Ἀκολουθιῶν καὶ τῶν μνημοσύνων τῶν ἀοιδίμων κτητόρων αὐτῶν καὶ Δωρητῶν, ὧν καὶ αἱ ἐν Χρυσοβούλλοις διατάξεις ἔχωσι διατηρεῖσθαι καὶ ἐνεργεῖσθαι ἐς ἀεί, μηδεμιᾶς ποτέ παραρράσεως τολμωμένης ἐν οἱῳδήποτε λόγῳ. Γ) Τῶν κυριαρχικῶν εἰρημένων ἱερῶν Μοναστηρίων ἡ πνευματικὴ προστασία καὶ λοιπὴ μοναστηριακὴ ἐσωτερικὴ διακυβέρνησις ὑπάρχει ἀείποτε ἀνατεθειμένη τῇ ἀμέσῳ φροντίδι καὶ ἐπαγρυπνήσει τοῦ κατὰ καιροὺς Οἰκουμενικοῦ Πατριάρχου, ἔχοντος διορίζειν τοὺς καταλλήλους ἡγουμένους ἐν ἑκάστῳ αὐτῶν, ἀρετῇ καὶ φρονήσει συγκεκροτημένους, ὑπείκοντας αὐτῷ ὡς κανονικῷ αὐτῶν κυριάρχῃ καὶ λόγῳ δίδοντας αὐτῷ περὶ πάντων τῶν ἀφορώντων τὴν οἰκονομίαν τῶν ἱερῶν αὐτῶν Σκηνωμάτων, τὴν θεάρεστον αὐτῶν διεξαγωγὴν καὶ τῶν ἐν αὐτῷ ἀσκουμένων τὸ πολίτευμα, καὶ συνελόντι κήδεσθαι προνοητικῶς ὑπὲρ παντοίας βελτιώσεως καὶ διηνεκοῦς εὐσταθείας αὐτῶν. Δ) Πάντα τὰ εἰσοδήματα καὶ οἱαδήποτε πρόσοδος, κυρία καὶ τυχηρὰ ἀποφερομένη ἀπό τε τῶν κτημάτων τῶν κυριαρχικῶν αὐτῶν Μονῶν καὶ ἀπὸ τῶν κτημάτων τῶν ἐν Βλαχίᾳ Μετοχίων εἰσπράττηται τὸ ἀπὸ τοῦδε τῇ φροντίδι τοῦ κατὰ καιροὺς Οἰκουμενικοῦ Πατριάρχου μετὰ τῆς Ἱερᾶς Συνόδου καὶ τοῦ διαρκοῦς Ἐθνικοῦ Μικτοῦ Συμβουλίου παρὰ τῷ Ἐθνικῷ Ταμείῳ, λογιζομένη ὡς προῖξ τοῦ Οἰκουμενικοῦ θρόνου, ἀφ' ἧς ἔχει ἀποδίδοσθαι τὸ πατριαρχικὸν σιτηρέσιον. Ε) Ὀφειλὴ τῷ κατὰ καιροὺς Οἰκουμενικῷ Πατριάρχῃ μετὰ τῆς Ἱερᾶς Συνόδου καὶ τοῦ Διαρκοῦς Ἐθνικοῦ Μικτοῦ Συμβουλίου προνοῆσαι ἐγκαίρως καὶ μετὰ τὴν σὺν Θεῷ βελτίωσιν καὶ ἀρίστην ἀπο-

Δημοσία Κεντρική Βιβλιοθήκη Κοντόσας

κατάστασιν τῶν Ἱερῶν αὐτῶν Μονῶν ὑπὲρ συστάσεως ἐκπαιδευτικῶν Καταστημάτων ἑνὸς μὲν ἐν τῇ χώρα Ὀστανίτζῃ, γειτνιαζούσῃ τῷ Ἱερῷ Μοναστηρίῳ Γκούρας, ἑτέρου δὲ ἐν Δικαλίτζῃ παρὰ τῇ Μονῇ τῆς Μολυβδοσκεπάστου καὶ ἑτέρου ἐν τῇ ἐπαρχίᾳ Βελλᾶς εἰς ὃ ἂν ἐγκριθῇ καταλληλότερον ἐκ τῶν πλησιοχώρων τῇ Μονῇ χωρίων, πρὸς κοινὴν ὠφέλειαν καὶ φωτισμὸν τῆς ἐγχωρίου νεολαίας ἀπολαμβανόντων, ἀείποτε τὴν ἐπὶ προόδῳ καὶ καλῇ καταστάσει καὶ πνευματικῇ καρποφορίᾳ προστασίαν καὶ φροντίδα τοῦ κατὰ καιροὺς Οἰκουμενικοῦ Πατριάρχου μετὰ τῆς Ἱερᾶς Συνόδου. Ταῦτα ἀπεφάνθη καὶ κεκύρωται Συνοδικῶς. Ὅς δ' ἂν καὶ ὁποῖος τῶν ἁπάντων ἱερωμένος ἢ λαϊκὸς γνώμης σκαιότητι καὶ ἰδιορρυθμίᾳ νικώμενος, τολμήσῃ ποτε κρυφίως ἢ φανερῶς, ἀμέσως ἢ ἐμμέσως διασεῖσαι τὴν μετὰ κοινῆς ὁμοφώνου ἐκκλησιαστικῆς καὶ Ἐθνικῆς γνώμης βουλῆς τε καὶ ἀποφάσεως ἐκδηλωθεῖσαν καὶ διατυπωθεῖσαν ἕνωσιν καὶ ὁλοσχερῆ προσήλωσιν τῶν διαληφθέντων Ἱερῶν Μοναστηρίων πρὸς τὸν Ἁγιώτατον Πατριαρχικὸν Οἰκουμενικὸν Θρόνον, ἢ τοὺς περὶ αὐτῶν καὶ τῶν Μετοχίων καὶ κτημάτων καὶ προσόδων αὐτῶν καὶ πάσης τῆς πνευματικῆς τε καὶ ὑλικῆς αὐτῶν τοὐντεῦθεν διακυβερνήσεως καὶ διορισθέντας θεσμοὺς μεταποιῆσαι ἢ παραχαράξαι διανοηθῇ, καὶ ὅλως βουληθῇ ἀνατρέψαι μέχρι κεραίας τὰ ἐν τῷ παρόντι Συνοδικῶς ἐκπεφρασμένα, ὁ τοιοῦτος ὡς ἀλαζὼν καὶ πολέμιος τῶν κοινωφελῶν καὶ θεαρέστων ἔργων, ἀφωρισμένος ὑπάρχῃ παρὰ τῆς Ἁγίας καὶ ὁμοουσίου καὶ Ζωοποιοῦ καὶ ἀδιαιρέτου Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον, καὶ τυμπανιαῖος, καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης καὶ πάσης τῆς πατριαρχικῆς καὶ συνοδικῆς ἀρᾶς ὑπεύθυνος καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος. Ἐφ' ᾧ καὶ τὸ παρὸν ἐγένετο ἡμέτερον Πατριαρχικὸν καὶ Συνοδικὸν Σιγγιλλιῶδες Γράμμα, καταστρωθὲν ἐν τῷ Ἱερῷ Κώδικι τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας εἰς διηνεκῆ ἔνδειξιν καὶ μόνιμον παράστασιν.

Ἐν ἔτει Σωτηρίῳ ᾳ ω ξ γ' κατὰ μῆνα Μάϊον ἐπινεμήσεως ΣΤ.

(Ὑπογραφαὶ Συνοδικῶν Ἀρχιερέων).

Δημόσια Κεντρική Βιβλιοθήκη Κοντοσός

Β'. ΔΙΑΘΗΚΗ ΙΩΑΝΝΙΚΙΟΥ ΣΤΑΥΡΟΥΠΟΛΕΩΣ ΜΕΤΑ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΣΥΝΟΔΙΚΟΥ ΕΠΙΒΕΒΑΙΩΤΗΡΙΟΥ ΓΡΑΜΜΑΤΟΣ

ΓΡΑΜΜΑ ΑΦΙΕΡΩΣΕΩΣ

γεγονὸς καὶ γραφὲν ἐν Βουκουρεστίῳ διὰ τὴν ἀνέγερσιν τῆς ἐκκλησίας ἐπ' ὀνόματι τῶν παμμεγίστων Ταξιαρχῶν καὶ πανδοχείου καὶ οἰνώνων καὶ λοιπῶν κτημάτων ἐν Βουκουρεστίῳ γενομένων ὑπὸ τοῦ Σταυρουπόλεως Ἰωαννικίου, καὶ ἀφιερωθέντων εἰς τὸ κατὰ τὴν ἀρχιεπισκοπὴν τῆς Πωγωνιανῆς μοναστήριον τῶν παμμεγίστων Ταξιαρχῶν, ἐπονομαζόμενον τοῦ Γκούρα.

Θεῖόν τι χρῆμα ἡ τάξις, σωστικώτατόν τε καὶ τῶν λίαν ἀναγκαίων καὶ καθολικωτάτων· ἥτις ἐκ τῶν ὑπερουρανίων καὶ θείων ἀρχομένη, καὶ διὰ τῶν ἀΰλων δυνάμεων διϊκνουμένη, καὶ αὐτῶν τῶν οὐρανίων σωμάτων τε καὶ στοιχείων, μέχρι καὶ αὐτοῦ τοῦ κέντρου τῆς γῆς σῴζει καὶ διατηρεῖ πάντα τὰ ὄντα, ἀλλὰ καὶ οὐδὲν ἐν τῷ κόσμῳ ἄτακτον οὐδὲ ἀπρονόητον, ὡς μὴ δυναμένη τὸ τοιοῦτον διαιωνίζειν, κατὰ τὸ παλαίφατον λόγιον· καὶ οὐ μόνον τά τε θεῖα καὶ τὰ φύσει κοσμεῖται καὶ συντηρεῖ, ἀλλὰ δὴ καὶ τὰ ἤθη ἑκάστου, οἰκίας τε καὶ πόλεις, κἂν τοῖς βασιλείοις ἀναγκαιοτάτη γνωρίζεται σύνοικος· ὡσαύτως καὶ τοῖς σεμνείοις τε καὶ κοινοβίοις τὸ κράτος ἐσχηκυῖα, πάσης εὐκοσμίας καθίσταται πρόξενος· πρὸς ὅπερ ἀπιδοῦσα καὶ ἡ θεολόγος φωνὴ τὴν τάξιν τιμᾶσθαι καὶ τοῦ κράτους προηγεῖσθαι ὡς τούτου φύλαξ διακελεύεται· τὰ γὰρ ἐξοικιζόμενα τῆς οἰκείας τάξεως κακῶς εἴωθε φέρεσθαι τοῦ λοιποῦ, καὶ ἀτάκτως ἄγεσθαι, καὶ τάξιν οὐδέποτε ἐσχηκέναι μόνιμον, ὡς τοὺς προσφυεῖς τῆς σφῶν καταστάσεως ὅρους τέως ἀπολέσαντα, καὶ πῇ μὲν ὧδε, πῇ δ' ἐκεῖσε ἀντιθέτως καὶ ἀλλεξάλλως καθέλκεσθαι· διὸ καὶ τὸ σκεῦος τῆς ἐκλογῆς τοῖς Κορινθίοις διατάττεται λέγων: «τὰ πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω»· καὶ πάλιν τοῖς Κολασσαεῦσιν ὁ αὐτός: «εἰ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμὶ χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως» ἀλλὰ δὴ καὶ ὅ φησιν ὁ αὐτὸς τὸ τοῦ Χριστοῦ θεῖον στόμα: «ἕκαστος ἐν ᾧ ἐκλήθη ἐκεῖ καὶ μενέτω», εἰς τοῦτο πάντως φέρει ἕκαστον τὴν ἰδίαν τάξιν διακατέχειν κελεῦον, μένει δ' ἕκαστος ἐν ᾧ ἐκλήθη οὐ μόνον σωματικῶς, ἀλλὰ μάλιστα καὶ πνευματικῶς, καὶ γνώμῃ καὶ προαιρέσει καὶ βοηθείᾳ, καὶ ἄλλοις οἷς τισιν ἂν δύνηται τρόποις, ἀνθ' ὧν καὶ ἡ ταπεινότης ἡμῶν, ἡ ἐκ νεαρᾶς ἡλικίας τὸν μοναδικὸν βίον αἱρετισαμένη, καὶ τῷ σεβασμίῳ καὶ ἱερῷ μοναστηρίῳ κατὰ τὴν

Δημοτική Κεντρική Βιβλιοθήκη Κοντάς

τῆς Πωγωνιανῆς ἐπαρχίαν, ἐπ' ὀνόματι τιμωμένῳ τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριήλ, Γκούρα ἐπονομαζομένῳ, πλησίον τῆς κώμης Ὀστανίτζας τῆς πατρίδος αὐτῆς, ἐπί τινος πέτρας αὐτοφυοῦς μεγάλης ἐπιτεθεμελιωνένῳ, τὸ ἀγγελικὸν ἐδέξατο σχῆμα, ἐν' ᾧ καὶ ὡς τάξις ἀπήτει ἑαυτὴν ἀφωσιώτατο· κἀκεῖθεν μετὰ πάροδον χρόνου συχνοῦ ἀποδημήσασα ἀδείᾳ καὶ ἐπιταγῇ τοῦ ἐνταῦθα τὸ τηνικαῦτα ἡγουμενεύοντος, καὶ τῶν λοιπῶν ἐνασκουμένων πατέρων, χάριν ἐλέους καὶ τῆς παρὰ τῶν χριστιανῶν βοηθείας, καὶ μετὰ περιήγησιν ἱκανὴν ἐπιδημήσασα τῇ κατὰ τὴν Οὐγγροβλαχίαν πόλει Βουκουρέστιον ἐπονομαζομένῃ, προτροπῇ καὶ συνεργείᾳ τοῦ τότε τῆς Οὐγγροβλαχίας ἡγεμονεύοντος, σοφωτάτου καὶ ἀειμνήστου κυρίου κυρίου Ἰωάννου Νικολάου βοεβόδα τοῦ Μαυροκορδάτου, ἐπὶ τὸ μέγα καὶ ἁγιώτατον ἀξίωμα τῆς ἀρχιερωσύνης προεβιβάσθη, Σταυρουπόλεως ἀρχιερεὺς χειροτονηθεῖσα, ἐκδόσει τοῦ τηνικαῦτα παναγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου κυρίου Ἱερεμία, τοῦ ἡμετέρου αὐθέντου καὶ δεσπότου, προθυμηθεῖσα δ' ἔπειτα καὶ πρῶτον σκοπὸν θεμένη ἵνα, κατὰ τὸ ἐφικτόν, βοηθήσῃ τῷ ρηθέντι ἱερῷ μοναστηρίῳ, ἔνθα τὸ ἀγγελικὸν περιεβάλετο σχῆμα· καὶ συνεπιλαμβάνοντα τὸν καιρὸν ἐσχηκυῖα, ἀναλώμασιν οἰκείοις πανδοχεῖον ἐκ βάθρων ἀνήγειρεν ἐν τῇ πόλει Βουκουρεστίῳ πλησίον τῆς ἱερᾶς ἐκκλησίας τῆς ἁγίας τοῦ Χριστοῦ γεννήσεως, τῆς ἀνατεθειμένης τῇ ἁγιωτάτῃ ἀρχιεπισκοπῇ τῆς Πωγωνιανῆς, τόν τε πέριξ περίβολης λον καὶ τὰ κελλία πάντα ἐξ ὀπτῆς πλίνθου ἀνῳκοδόμησε, πλησίον τε τῆς μεγάλης εἰσόδου, καὶ ναὸν ἀνήγειρεν ὡραῖον, ἐπ' ὀνόματι τιμώμενον τῶν τε παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριήλ, καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου πατριάρχου Ἀλεξανδρείας· κατὰ πλευρὰν δὲ τοῦ πανδοχείου καὶ οἶκον ἀνεδομήσατο κάλλιστον μετὰ καὶ οἰνώνων καὶ οἰνοπωλείου· ἃ δὴ πάντα τό τε πανδοχεῖον σύμπαν, τὸ κοινῶς λεγόμενον χάνιον, τόν τε ναὸν σὺν πᾶσι τοῖς αὐτοῦ ἀφιερώμασι κινητοῖς τε καὶ ἀκινήτοις, ἱεροῖς ἀμφίοις, ἀμπελῶσι, καὶ πᾶσι κτήμασι, καὶ σύμπασαν τὴν οἰκίαν, ἵνα τὴν ἐξυμνουμένην τάξιν τηρήσῃ, καὶ τὸ τοῦ ἀποστόλου κελεῦον «ἕκαστος ἐν ᾧ ἐκλήθη ἐκεῖ καὶ μενέτω», καὶ ἵνα βοήθειάν τινα σχοίη καὶ κυβέρνησιν τὸ τῶν ἀΰλων ἀρχαγγέλων ἱερώτατον καταγώγιον, ἔνθα τὴν ἀρχὴν ἔθετο αὐτῆς τὴν μετάνοιαν, μεθ' ὅτι πλείστης προθυμίας αἰωνίως καὶ ἀναποσπάστως ἀφιερώσατο τῷ ρηθέντι πανσεβάστῳ καὶ θειοτάτῳ μοναστηρίῳ, ἐπ' ὀνόματι τιμωμένῳ τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριήλ, ἐν τῇ ἁγιωτάτῃ ἀρχιεπισκοπῇ τῆς Πωγωνιανῆς παρὰ τῇ κώμῃ Ὀστανίτζᾳ, ἐπί τινος αὐτοφυοῦς λίθου ἐπῳκοδομημένῳ· πλὴν μετὰ τοιούτων τῶν ρηθησομένων ἀπαραβάτων καὶ ἀμετατρέπτων διατάξεων, ἅς περ αὐτὴ διετάξετο· ὧν πρώτη καθέστηκε τὸν καθηγουμενεύοντα ἐν τῷ ἱερῷ μοναστηρίῳ τῶν ἀρχαγγέλων, ἐν τῇ αὐτῆς μετανοίᾳ, καὶ εἶναι καὶ λέγεσθαι πρῶτον ἐπίτροπον πάντων τῶν ρηθέντων ἀφιερωμάτων, πανδοχείου, φημί, ναοῦ τε τῶν Ταξιαρχῶν, σὺν πᾶσι τοῖς αὐτῷ ἀφιερωθεῖσι κινητοῖς τε καὶ ἀκινήτοις, ἅμα τῇ παρακειμένῃ οἰκίᾳ, ἐπιτροπεῦσαι δὲ τοῦτον συνάμα τοῖς αὐταδέλφοις αὐτῆς

Δημόσια Καντούκη Κοντοδάς

Παναγιώτῃ καὶ Νικόλάῳ τῶν μετὰ τὴν ἀποβίωσιν τῆς ἡμῶν ταπεινότητος ἐπιτρόπων· περιόντας δὲ αὐτοὺς χρέος ἔχειν ἀπαραίτητον ἐκλέξασθαι ἐκ τῆς ἡμετέρας συγγενείας ἄνθρωπόν τινα τὸν ἐπιτροπεύσοντα μετὰ τὴν αὐτῶν ἀποβίωσιν, εὐλαβῆ τε καὶ τρίβωνα τῶν πραγμάτων, καὶ ἔνοικον ἔχων ἐν ἑαυτῷ τὸν θεῖον φόβον· ἅμα τούτοις ἐπιτροπεύειν τῶν ἀναθημάτων τῶνδε συμπάντων καὶ τὸν κατὰ καιροὺς τυχόντα θεοφιλέστατον ἐπίσκοπον Πωγωνιανῆς, καὶ τὸν στάροσταν τῶν ἐν Βουκουρεστίῳ τιμίων πραγματευτῶν.

Ἐκ τούτων τῶν τριῶν μερῶν καθίστασθαι τῶν ρηθέντων ἀφιερωμάτων ἐπιτρόπους, ἀναλαβεῖν τε τὴν φροντίδα τούτων καὶ διοίκησιν, ἵν' ὁσίως καὶ θεοφίλως ἡ διοίκησις γένηται, καὶ ἀξία ἡ ἀντιμισθία παρά τε θεοῦ καὶ τῶν Ταξιαρχῶν ἐμοί τε καὶ αὐτοῖς βραβευθείη· ἐκλέγειν τε τοὺς ρηθέντας αὐτῆς ἐπιτρόπους τινά τῶν ἱερομονάχων ἐκ τοῦ σεβασμιωτάτου ἀρχαίου μοναστηρίου, εἴ γε τὸν τοιοῦτον εἶναι ἐκ τῆς ἡμετέρας γενεᾶς, εὐλαβείᾳ τε καὶ σεμνῷ βίῳ κεκοσμημένον, εἰδήμονα τῶν ἐκκλησιαστικῶν διατάξεων, δίκαιον, ἐστοιχειωμένον τῇ θείᾳ φρίκῃ, ἐπὶ τὸ διοικεῖν τε καὶ προΐστασθαι ἐν τάξει ἡγουμένου τῶν ἀφιερωθέντων ἁπάντων, κινητῶν τε καὶ ἀκινήτων, ἐμψύχων τε καὶ ἀψύχων, ἀμπελώνων τε καὶ μουσιῶν καὶ τῶν ἄλλων· τὸν ἐπιτροπεύοντα στάροσταν σὺν τοῖς λοιποῖς ἔχειν ἄδειαν λόγον ἐπὶ λεπτοῦ λαμβάνειν ἀπὸ τὸν ἐν τάξει καθεστῶτα ἡγούμενον, καὶ καλῶς μὲν καὶ ἐπ' ὠφελείᾳ ἑστηκότα, κακῶς δὲ καὶ ἀναξίως διῳκηκότα ἐξῶσαι τῆς ἐπιστασίας καὶ πρὸ τῆς τοῦ ἔτους ἐκπληρώσεως καὶ ἕτερον ἀντ' αὐτοῦ καταστῆσαι. Πρὸ τῶν ἄλλων ἁπάντων τὸν ἐπιστατοῦντα ἐκ τῶν συναχθέντων εἰσοδημάτων ἀπό τε κινητῶν καὶ ἀκινήτων πραγμάτων ἀνακτᾶσθαι τὰ πεπονηκότα, καὶ ἀνανεῶσαι τὰ παλαιωθέντα τοῦ τε ναοῦ, πανδοχείου τε καὶ τῆς οἰκίας σκέπης αὐτῶν σαθρωθείσης ἢ τείχους διαρραγέντος ἢ καταπεπτωκότος. δευτέρα δέ, πέμψαι κατὰ πᾶν ἔτος ἀνὰ γρόσια 20 τὸν μισθὸν τῷ διδασκάλῳ τοῦ κοινοῦ σχολείου τοῦ ὑπ' αὐτῆς διορισθέντος τῷ διδάσκοντι τοὺς παῖδας κοινὰ καὶ ἐκκλησιαστικὰ μαθήματα ἐν τῇ πατρίδι αὐτῆς τῇ Ὀστανίτζᾳ· τρίτη, ἀποδοῦναι τὸν συμπεφωνημένον μισθὸν ἀνελλιπῆ τοῖς ἐνταῦθα ἐφημερεύουσιν ἐν τῷ τῶν Ἀρχαγγέλων θείῳ ναῷ καὶ τοῖς ἄλλοις μισθωτοῖς· τετάρτη, ἑορτᾶσαι τὴν τῶν Ἀρχαγγέλων πανήγυριν, ὁμοίως καὶ τὴν μετ' ἐκείνην τὴν τῶν κτιτόρων, λειτουργοῦντος ἀρχιερέως καὶ τῶν κτιτόρων μνημονεύοντος, καὶ διδόναι τῷ λειτουργήσαντι ἀρχιερεῖ ἀνὰ δύο χρυσᾶ φλωρία· πέμπτη, χρέος ἔχειν ἀπαραίτητον τὸν προεστηκότα προσκαλέσασθαί τινα τῶν ἀρχιερέων τρὶς τοῦ ἔτους, ἅπαξ δηλονότι ἐν τέτταρσι μησὶν ἐπὶ τῷ τὴν θείαν μυσταγωγίαν τελέσαι, καὶ μνημονεῦσαι τοῦ ταπεινοῦ αὐτῆς ὀνόματος καὶ ἀναγνῶναι καὶ τὰς συγχωρητικὰς εὐχὰς ὑπὲρ ἀφέσεως τῶν πλημμελημάτων, ἃ ὡς ἄνθρωπος ἔπραξεν, καὶ λαμβάνειν ἐν ἑκάστῃ λειτουργίᾳ ἀνὰ δύο φλωρία χρυσᾶ· ἕκτη, μηδένα τολμῆσαι τὸ σύνολον ἀπεμπολῆσαί τι τῶν κινητῶν ἢ ἀκινήτων κτημάτων τοῦ ὑπ' αὐτῆς ἀνεγερθέντος ναοῦ καὶ ἱερόσυλον γενέσθαι ἀναφανδόν, ἀλλὰ διακατέχειν καὶ διατηρεῖν ἀπαραμείωτα πάντα τὰ ἐκ-

Δημόσια κεντρική Βιβλιοθήκη Κονίτσας

κλησιαστικὰ κτήματα, ἅπερ αὐτὴ ἐκέκτητο καὶ ἀνήγειρεν· ἀλλὰ μᾶλλον, τοῦ καιροῦ βοηθοῦντος, αὖξαί τε καὶ καλλιεργῆσαι εἰς οἰκεῖον μνημόσυνον· ἑβδόμη καὶ τελευταία, τὰ ἐκ τῶν προσόδων πασῶν περιττεύοντα χρήματα, μετὰ τὴν ἐκπλήρωσιν τῶν ἀνωτέρω διορισθέντων, ὅσα περ ἂν ὦσιν, ἐκπεμφθῆναι παρὰ τῶν ἐπιτρόπων σῶα καὶ ἀνελλιπῆ εἰς τὸ ἱερώτατον τὸ παρὰ τῇ Ὀστανίτζᾳ τῶν Ἀρχαγγέλων μοναστήριον (ἔνθα ἡ ἐμὴ ταπεινότης ἑαυτὴν τῷ θεῷ καθιέρωσεν) εἰς μνημόσυνον μὲν αὐτῆς, βοήθειαν δὲ τῶν ἐκεῖσε κοινοβιούντων σεβασμίων πατέρων, σὺν οἷς καὶ κατάλογον ἀκριβέστατον περιέχοντα ἐπὶ λεπτοῦ τάς τε προσόδους ἁπάσας καὶ τὰ κατ' ἔτος ἀναλώματα, καὶ οὕτως ἡ τάξις τηρηθήσεται τοῦ «ἐν ᾧ ἐκλήθη τις ἐκεῖ μενέτω». Οὕτω γνώμης ἔσχηκεν ἡ ἐμὴ ταπεινότης, καὶ οὕτω περὶ τούτων διωρίσατο· μεθ' ἅπαντα δέεται καὶ ἀξιοῖ τοὺς ἡγεμονεύοντας ἐν ταύτῃ τῇ Οὐγγροβλαχίᾳ ἐν ἑκάστοις καιροῖς ὑψηλοτάτους ἡγεμόνας, ὁμοίως καὶ τοὺς ἀρχιερατεύσοντας πανιερωτάτους ἀρχιερεῖς, ἔχειν τὴν ὑπεράσπισιν καὶ ἐπίσκεψιν ταύτης τῆς σεβασμίας μονῆς τῆς τῶν Ἀρχαγγέλων, ἐπικυρῶσαί τε καὶ ἀνανεῶσαι καὶ ἀπαράβατα τηρῆσαι τὰ ἐπιδαψιλευθέντα χρυσόβουλλα τῶν ὑψηλοτάτων προηγεμονευσάντων, καὶ ἑτέροις ἑαυτῶν χρυσοβούλλοις ἐπιβεβαιῶσαι τὰ προγεγονότα, ἵνα καὶ ἀξίαν σχῶσι τὴν ἀντιμισθίαν παρά τε θεοῦ καὶ τῶν ἀρχαγγέλων.

Ὅστις οὖν ὁποιασδήποτε εἴη τάξεως ἐκκλησιαστικῆς ἢ πολιτικῆς, πάντα τὰ ὑπ' αὐτῆς ἐν τῇ ἀφιερώσει ταύτῃ φυλάξῃ ἀπαραμείωτα καὶ ἀπαράβατα, καὶ τὴν δυνατὴν βοήθειαν εἰσενέγκῃ καὶ κατὰ καιρὸν ἀντιλάβηται, εὐλογημένος εἴη καὶ συγκεχωρημένος παρὰ θεοῦ κυρίου παντοκράτορος, τοῦ ἑνὸς καὶ μόνου τῇ φύσει θεοῦ, καὶ σχοίη ἀείποτε συνεργοὺς καὶ φύλακας, ἐν παντὶ καιρῷ καὶ τόπῳ τοὺς παμμεγίστους ἀρχιστρατήγους Μιχαὴλ καὶ Γαβριήλ, καὶ πάσας τὰς πυριμόρφους καὶ ἀσωμάτους οὐρανίους δυνάμεις. Ἔμπαλιν δέ, ὅστις αἰσχροκερδίᾳ φερόμενος, ἢ ὑπεροψίᾳ νικώμενος, τολμήσειεν ἀποσπᾶσαι καὶ ἀπαλλοτριῶσαι ταῦτα τὰ ἀφιερωθέντα, ἢ ἅπαντα ἢ τινα τούτων, ἀπὸ τοῦ ἱεωτάτου τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ σεβασμίου μοναστηρίου, τοῦ παρὰ τῇ κώμῃ Ὀστανίτζᾳ ἐπί τινος αὐτοφυοῦς πέτρας ἀνεγηγερμένου, ἢ τολμήσειε διασεῖσαι ἢ ἀνατρέψαι ταύτην μου τὴν θεάρεστον καὶ δικαίαν ἀφιέρωσιν, ἤ τι τῶν ὧν ἐν τῷ παρόντι ἀφιερωτικῷ διωρίσατο γράμματι, εἴ τέ τις τῶν ἐμῶν συγγενῶν εἴη ἂν ὁ τοιοῦτος, εἴτε των ἐπιτρόπων, εἴτε τῶν ἡγουμενευόντων, εἴτε ἄλλος τις μέγας ἢ μικρός, ὁποιασδήποτε τάξεως καὶ βαθμοῦ εἴη, ἔστω ἀφωρισμένος παρὰ τῆς παναγίας καὶ ζωαρχικῆς Τριάδος, καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος· αἱ πέτραι καὶ ὁ σίδηρος λυθήσονται, αὐτὸς δὲ οὐδαμῶς· καὶ προκοπὴν οὐ μὴ ἴδῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἡ ὀργὴ τοῦ θεοῦ εἴη ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἐχέτω καὶ τὰς ἀρὰς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων τῶν ἐν Νικαίᾳ καὶ τῶν λοιπῶν ἁγίων συνόδων. Ἡ μερὶς αὐτοῦ εἴη μετὰ τοῦ Ἰούδα καὶ τῶν Ἰουδαίων, τῶν σταυρωσάντων τὸν κύριον τῆς δόξης. Ἔστω στένων καὶ τρέμων

Δημόσια Καντρική Βιβλιοθήκη Κύπρος

ἐπὶ τῆς γῆς ὡς ὁ Κάϊν, κληρονομήσειε καὶ τὴν λέπραν τοῦ Γιεζῆ καὶ τὴν ἀγχόνην τοῦ Ἰούδα· σχισθείη ἡ γῆ καὶ καταπίοι αὐτὸν ὡς τὸν Δαθᾶν καὶ Ἀβειρών· οἱ πόνοι αὐτοῦ εἴησαν πυρίκαυστοι, καὶ σχοίη ἀντιδίκους καὶ πολεμίους, ἐν παντὶ καιρῷ καὶ τόπῳ, τοὺς παμμεγίστους ἁγίους Ταξιάρχας σὺν πᾶσι τοῖς οὐρανίοις στρατεύμασιν, ὁμοῦ καὶ τὸν ἁγιώτατον πατέρα ἡμῶν πατριάρχην Ἀλεξανδρείας τὸν μέγαν Ἀθανάσιον.

Ἐν ἔτει ᾳψλγ΄, νοεμβρίου η΄.

(Κῶδιξ Α΄ Κριτίου, σελ. 417-421)

Κατὰ τὴν περίληψιν τοῦ ἀνωτέρω γράμματος ζητηθὲν ἐξεδόθη καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν ἐπιβεβαιωτήριον τῆς ἀφιερώσεως ταύτης γράμμα.

Πολύτροπα μὲν ὑπάρχουσι καὶ πολυειδῆ ἐν τοῖς ὀρθοδόξοις χριστιανοῖς τὰ ἔργα τῆς κατὰ θεὸν ἀρετῆς καὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης, καὶ πάντα ὁ θεὸς εὐμενῶς ἀποδέχεται, καὶ ἀποδίδωσιν ἑκάστῳ τὰ ἐπάξια γέρα καὶ τοὺς μισθούς· τιμιώτερα δὲ τῶν ἄλλων καὶ περισπουδαστότερα πάντως καθέστηκε τὰ περὶ τὰ ἱερὰ τοῦ θεοῦ καταγώγια καὶ σεβάσμια σκηνώματα ἐνθέῳ ζήλῳ καὶ πόθῳ τοῖς εὐσεβέσι φιλεργούμενα, καὶ ὑπὸ ἐνθέου εὐλαβείας καὶ εὐγνώμονος προαιρέσεως θεῷ τῷ δοτῆρι τῶν ἀγαθῶν προσφερόμενα εἰς δόξαν μὲν αὐτοῦ καὶ ὑμνολογίαν ἀέναον, μνημόσυνον δὲ διηνεκὲς τῶν προσενεγκάντων καὶ ἀφιερωσάντων αὐτά, οὗ καὶ ὁ ζῆλος μᾶλλον ἐπαινεῖται, καὶ ἡ πρόθεσις διὰ θαύματος ἄγεται, ἀποδοχῆς ἄξια κρίνεται, ὅτι τῷ προὔχοντι τῶν ἀγαθῶν ἔργων ὁποῖά ἐστιν ἡ τῶν θείων ναῶν συνδρομή τε καὶ περιποίησις ἐπεβάλλοντο θεῷ τὰ ἐκ θεοῦ ἱλαρᾷ προαιρέσει προσάγοντες· ταῦτά τοι καὶ ἐμφανιζόμενα τὰ τῶν τοιούτων φιλοθέων ἀνδρῶν σπουδάσματα τῇ κοινῇ μητρὶ πασῶν τῶν ἐκκλησιῶν, οὐ μόνον ἀποδοχῆς καὶ τιμῆς κατά γε τὸ εἰκὸς ἀξιοῦται, ἀλλὰ καὶ συστάσεως ἐπιδεόμενα εἰς μόνιμον αὐτῶν διαμονὴν καὶ συντήρησιν, ὅλαις ἐπιμελείαις καὶ σπουδαῖς, τὴν προσήκουσαν ἀπολαμβάνει βεβαίωσιν καὶ ἀσφάλειαν· τούτῳ γὰρ τῷ τρόπῳ καὶ αὔξεσθαι πέφυκε τὰ καλά, καὶ προκόπτειν καὶ εἰς διαμονὴν προχωρεῖν, τουτέστι ταῖς περὶ αὐτὰ σπουδαῖς τε καὶ ἐπιμελείαις.

Ὅθεν καὶ ἡ μετριότης ἡμῶν, θείῳ ἐλέει, τὸν οἰκουμενικὸν τοῦτον θρόνον πληρωσαμένη, καὶ τὴν πασῶν τῶν ἐκκλησιῶν ἀναλαβοῦσα μέριμναν, καὶ κατ' ὀφειλὴν ἀπαραίτητον τὴν τῶν ἱερῶν σκηνωμάτων σύστασιν καὶ αὔξησιν ἐποποθοῦσα, οὐ μόνον εὐμενῶς ἀποδέχεσθαι εἴωθε τὴν περὶ τὰ θεῖα τεμένη φιλοθέων ἀνδρῶν σπουδὴν καὶ εὐλάβειαν, καὶ ἐκ τῶν ἐνόντων συνδρομὴν καὶ βοήθειαν, ἀλλὰ καὶ γράμμασι πατριαρχικοῖς κατοχυροῦν τὰ φιλεργήματα αὐτῶν οὐκ ἀπαναίνεται, καὶ διὰ τῆς πατριαρχικῆς ἀξίας καὶ δυνάμεως τὸ μόνιμον τούτοις χαρίζεσθαι.

Ἐπειδὴ τοιγαροῦν καὶ τὰ νῦν ἀνηνέχθη καὶ ἐδηλοποιήθη ὡς ὁ ἐν τῇ θεοφυλάκτῳ τζάρᾳ τῆς ὑψηλοτάτης αὐθεντίας Οὐγγροβλαχίας τὰς διατριβὰς ποι-

Δημόσια Κεντρική Βιβλιοθήκη Κόντσας

ούμενος ἱερώτατος μητροπολίτης Σταυρουπόλεως καὶ συνάδελφος αὐτῆς κύρ ᾽Ιωαννίκιος, ζήλῳ θείῳ κεκινημένος πρὸ χρόνων ἤδη τινῶν ἀνήγειρε καὶ ἀνῳκοδόμησεν ἐν τῇ πολιτείᾳ Βουκουρεστίου ἓν πανδοχεῖον, καὶ ναὸν ἐν αὐτῷ ἀνήγειρε τιμώμενον ἐπ᾽ ὀνόματι τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριήλ, καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ᾽Αθανασίου, πατριάρχου ᾽Αλεξανδρείας, πλησίον τῆς ἱερᾶς ἐκκλησίας τῆς ἁγίας τοῦ Χριστοῦ γεννήσεως τῆς ἀνατεθειμένης τῇ ἁγιωτάτῃ ἀρχιεπισκοπῇ τῆς Πωγωνιανῆς, καὶ κατὰ πλευρὰν τοῦ πανδοχείου καὶ οἶκον ἐδομήσατο μετὰ οἰνώνων καὶ οἰνοπωλείου, καὶ περιποιησάμενος αὐτὰ κτήμασί τε καὶ πράγμασι κινητοῖς τε καὶ ἀκινήτοις, ἱεροῖς ἀμφίοις καὶ ἀμπελῶσιν, ἀνέθηκε καὶ ἀφιέρωσε τὸ ρηθὲν πανδοχεῖον, σὺν τῷ ἐν αὐτῷ ναῷ καὶ λοιποῖς πᾶσιν ἀφιερώμασιν, εἰς τὸ ἐν τῇ ρηθείσῃ ἀρχιεπισκοπῇ Πωγωνιανῆς ἱερὸν καὶ σεβάσμιον μοναστήριον, τιμώμενον κἀκεῖνο ἐπ᾽ ὀνόματι τῶν παμμεγίστων Ταξιαρχῶν, ἐπονομαζόμενον τοῦ Γκούρα, πλησίον τῆς κώμης ᾽Οστανίτζας, ἐν ᾧ καὶ τὸ ἀγγελικὸν τὴν ἀρχὴν ἐδέξατο σχῆμα, καὶ ἑαυτὸν ἀφιέρωσε καὶ ἀνέθηκε· κἀντεῦθεν ἐφ᾽ ᾧ τὴν τοιαύτην αὐτοῦ προσήλωσίν τε καὶ ἀφιέρωσιν περὶ τοῦ ρηθέντος πανδοχείου καὶ τῶν ἐν αὐτῷ περιεχομένων πραγμάτων ἔχειν τὸ ἀσφαλές τε καὶ μόνιμον, καὶ διενεργεῖσθαι καὶ συμφυλάττεσθαι, ἕως οὗ ὁ ἥλιος περιτρέχει τὸν κύκλον αὐτοῦ, δεῖν ἔγνω ἐμφρόνως λίαν καὶ προνοητικῶς, ὥστε ὑπὸ ἐπιτρόπους καὶ ἐπιστάτας ἀξίους καὶ ἔμφρονας θεῖναι τὴν διοίκησιν καὶ κυβέρνησιν αὐτοῦ, καὶ ὅρους τισὶ καὶ κανόσιν, ὡς ἐκτύπῳ περιλαβεῖν καὶ διορίσασθαι τὸν τρόπον τῆς καλῆς καὶ θεαρέστου κυβερνήσεως καὶ διεξαγωγῆς αὐτοῦ, καὶ μὴ τὴν ἄλλως καὶ ἀδιορίστως φερόμενον εἰς φθορὰν καταπέσῃ, καὶ τῷ πανδαμάτορι χρόνῳ παρανάλωμα γένηται· κἀντεῦθεν διετάξατο καὶ διώρισεν πρῶτον ὅπως τὸν ἡγουμενεύοντα κατὰ καιροὺς ἐν τῇ ρηθείσῃ κατὰ τὴν Πωγωνιανὴν ἱερᾷ μονῇ τῶν ἀρχαγγέλων εἶναι καὶ λέγεσθαι πρῶτον ἐπίτροπον πάντων τῶν εἰρημένων ἐν Βουκουρεστίῳ ἀφιερωμάτων ἤτοι τοῦ πανδοχείου, τοῦ ναοῦ τῶν ἀρχαγγέλων καὶ τῆς παρακειμένης οἰκίας σὺν πᾶσι τοῖς ἐν αὐτοῖς κινητοῖς τε ἀκινήτοις, συνεπιτροπεύειν δὲ μετ᾽ αὐτοῦ περιόντας μὲν τὸν Παναγιώτην καὶ Νικόλαον αὐταδέλφους τῆς αὐτοῦ ἱερότητος, μετὰ δὲ τὴν ἀποβίωσιν ἐκείνων ὃν ἂν ἐκλέξωνται καὶ διορίσουσιν οὗτοι περιόντες ἐκ τῆς συγγενείας αὐτῶν ἄξιον καὶ ἱκανὸν τῆς τοιαύτης ἐπιστασίας, μεθ᾽ ὧν καὶ ὁ κατὰ καιροὺς θεοφιλέστατος ἐπίσκοπος Πωγωνιανῆς καὶ ὁ στάροστας τῶν ἐν Βουκουρεστίῳ πραγματευτῶν ὀφείλουσιν ἔχειν ὁμοῦ τὴν τῶν ἀφιερωμάτων τούτων ἐπιτροπήν, ἐπιστασίαν καὶ μέριμναν· οἵτινες ἐπίτροποι ἔχωσιν ἐκλέγειν ἱερομόναχον ἐκ τοῦ κατὰ τὴν Πωγωνιανὴν ἀρχαίου μοναστηρίου, εἰ δυνατὸν ἐκ τοῦ γένους τῆς αὐτοῦ ἱερότητος, ἔμπης σεμνῷ βίῳ καὶ ἀρετῇ καὶ πείρᾳ κεκοσμημένον, καὶ καθιστᾶν ἡγούμενον ἐπὶ τῷ προΐστασθαι ἐν τάξει ἡγουμένου τῶν εἰρημένων ἐν Βουκουρεστίῳ ἀφιερωμάτων ἁπάντων, καὶ διοικεῖν αὐτά, καὶ διδόναι καὶ ἀπαιτεῖν λογαριασμὸν τῷ ρηθέντι στάροστᾳ καὶ τοῖς λοιποῖς ἐπιτρόποις, καὶ ἐκ τῶν συναγομένων εἰσοδημάτων ἐπισκευάζειν

Δημόσια Καντούνη Βιβλιοθήκη

καὶ ἀνανεοῦν τὰ πεπονηκότα, καὶ πτῶσιν ἀπειλοῦντα, καὶ διορθώσεως χρήζοντα μέρη τοῦ πανδοχείου, τοῦ ναοῦ, καὶ τῆς οἰκίας. Βον πέμπειν κατὰ πᾶν ἔτος διωρισμένον μισθὸν ἀνὰ εἴκοσι γρόσια τῷ ἐν τῇ πατρίδι τῆς αὐτοῦ ἱερότητος Ὀστανίτζᾳ διδασκάλῳ τοῦ κοινοῦ σχολείου, τῷ διδάσκοντι τοὺς παῖδας τὰ ἁπλᾶ καὶ κοινὰ μαθήματα. Γον πληροῦν ἀπαραιτήτως καὶ ἀνελλιπῶς τὸν συμπεφωνημένον μισθὸν τοῖς ἐφημερεύουσιν ἐν τῷ κατὰ τὸ Βουκουρέστι ναῷ τῶν ἀρχαγγέλων, καὶ τοῖς λοιποῖς τοῦ πανδοχείου μισθωτοῖς. Δον ἑορτάζειν κατ' ἔτος τὴν τῶν ἀρχαγγέλων πανήγυριν ὁμοίως καὶ τὴν μετ' ἐκείνην τὴν τῶν κτιτόρων, καὶ προσκαλεῖν ἀρχιερέα εἰς τὴν λιτήν, ἱερὰς λειτουργίας καὶ μνημόσυνον τῶν κτιτόρων, καὶ διδόναι τῷ λειτουργήσαντι ἀρχιερεῖ ἀνὰ δύο χρυσᾶ φλωρία. Εον κατ' ὀφειλὴν ἀπαραίτητον προσκαλεῖν ἕνα τῶν ἀρχιερέων τρὶς τοῦ ἔτους, ἤτοι ἀνὰ πᾶσαν τετραμηνίαν ἐπὶ τῷ ἐπιτελεῖν τὴν θείαν μυσταγωγίαν, καὶ μνημονεύειν τοῦ ὀνόματος τῆς αὐτοῦ ἱερότητος σὺν τῇ τῶν συγχωρητικῶν εὐχῶν ἀναγνώσει, καὶ πληροῦν τῷ κοπιῶντι ἀρχιερεῖ ἑκάστῃ ἱερᾷ λειτουργίᾳ ἀνὰ δύο χρυσᾶ φλωρία. ΣΤον μηδένα τολμῆσαι τὸ σύνολον ἀπεμπολῆσαι καὶ ἐκποιῆσαί τι τῶν κινητῶν καὶ ἀκινήτων κτημάτων τῶν ἀνεγερθέντων ὑπὸ τῆς αὐτοῦ ἱερότητος ναοῦ, ἀλλὰ φυλάττεσθαι πάντα ἀπαραμειώτως καὶ ἀναφαιρέτως. Ζον καὶ τελευταῖον μετὰ τὴν ἐξαίρεσιν καὶ ἀναπλήρωσιν τῶν διορισθέντων ἀνωτέρω μισθῶν, καὶ τῶν εἰς ἐπισκευὰς καὶ ἀνεγέρσεις γενομένων δαπανημάτων, τὰ περισσεύοντα καὶ λειπόμενα χρήματα ἐκ πάντων τῶν τοῦ πανδοχείου τούτου εἰσοδημάτων πέμπεσθαι παρὰ τῶν εἰρημένων ἐπιτρόπων ἀνελλιπῶς εἰς τὸ ρηθὲν ἐν τῇ Πωγωνιανῇ παρὰ τῇ Ὀστανίτζᾳ ἱερὸν μοναστήριον τῶν ἀρχαγγέλων, καὶ τοὺς ἐν αὐτῷ συνασκουμένους πατέρας, διὰ περίθαλψιν καὶ κυβέρνησιν αὐτῶν· ὁμοῦ δὲ πέμπεσθαι καὶ κατάλογον ἀκριβῆ περιέχοντα τὰς κατ' ἔτος προσόδους καὶ δαπανήματα, καὶ τῷ τρόπῳ τούτῳ, θεοῦ συνεργοῦντος, σῴζεσθαι μὲν καὶ φυλάττεσθαι καὶ διακυβερνᾶσθαι τό τε ρηθὲν πανδοχεῖον σὺν τοῖς ἐν αὐτῷ, ἔτι δὲ καὶ τὸ κατὰ τὴν Πωγωνιανὴν ἱερὸν μοναστήριον τῶν ἀρχαγγέλων καρποῦσθαι καὶ ἀπολαμβάνειν τὴν ἐκ τούτου προσγιγνομένην ὠφέλειαν, καὶ δή τὴν τοιαύτην ἀφιέρωσιν καὶ προσήλωσιν τοῦ ρηθέντος πανδοχείου, μετὰ τῶν ἀπαριθμηθέντων ὅρων καὶ διατάξεων, ἀπαρτίσαι· καὶ κατασφαλισάμενος ἰδίῳ αὐτοῦ ἀφιερωτικῷ γράμματι ὁ ρηθεὶς ἱερώτατος μητροπολίτης Σταυρουπόλεως καὶ συνάδελφος ἡμῶν κύρ Ἰωαννίκιος, βουλόμενος ἔχειν αὐτὴν τὸ κῦρος καὶ τὴν ἰσχὺν μόνιμον καὶ ἀπαράτρεπτον εἰς τὸ διηνεκὲς καὶ ἀπαρεγχείρητον, προσέδραμε τῇ προνοίᾳ καὶ κηδεμονίᾳ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ τοῦ οἰκουμενικοῦ τούτου θρόνου, καὶ ἐδεήθη βεβαιωθῆναι αὐτὴν καὶ δι' ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ σιγιλλιώδους γράμματος, ἥντινα ἀξίωσιν καὶ δέησιν αὐτοῦ ὡς εὔλογον καὶ δικαίαν οὖσαν, καὶ πρὸς θεοφιλῆ σκοπὸν ἀφορῶσαν, εὐμενῶς ἀποδεξάμενοι, ἄλλως τε περὶ πολλοῦ ποιούμενοι τὴν σύστασιν καὶ ὠφέλειαν τῶν σεβασμίων μοναστηρίων καὶ ἱερῶν τοῦ θεοῦ σκηνωμάτων, γράφοντες διὰ τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Κοντάς

παρόντος ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ λοιπῶν τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν συναδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ διαληφθὲν ἐν Βουκουρεστίῳ τῆς αὐθεντίας Οὐγγροβλαχίας πανδοχεῖον κείμενον πλησίον τῆς ἐκκλησίας τοῦ σωτῆρος Χριστοῦ καὶ θεοῦ ἡμῶν γεννήσεως, τῆς ἀνατεθειμένης τῇ ἁγιωτάτῃ ἀρχιεπισκοπῇ Πωγωνιανῆς, καὶ ἀνεγηγερμένον ὑπὸ τοῦ ἱερωτάτου μητροπολίτου Σταυρουπόλεως κύρ Ἰωαννικίου, μετὰ πάσης τῆς περιοχῆς καὶ τῶν πραγμάτων αὐτοῦ, ἔτι δὲ καὶ τοῦ ἐν αὐτῷ ἀνεγηγερμένου ναοῦ ὑπὸ τῆς αὐτοῦ ἱερότητος τῶν παμμεγίστων Ταξιαρχῶν, καὶ τῆς παρακειμένης, οἰκίας, καὶ πάντων τῶν κτημάτων καὶ ἀφιερωμάτων αὐτοῦ κινητῶν τε καὶ ἀκινήτων, ἱερῶν ἀμφίων, οἰνώνων καὶ ἀμπελώνων καὶ λοιπῶν ἁπάντων, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς μέχρι τερμάτων αἰῶνος, εἴη καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται κτῆμα καὶ πρᾶγμα τοῦ ἐν τῇ ἀρχιεπισκοπῇ Πωγωνιανῆς ἐν τῇ χώρᾳ Ὀστανίτζᾳ κειμένου σεβασμίου μοναστηρίου τῶν παμμεγίστων Ταξιαρχῶν, ὡς ἀφιερωθὲν καὶ προσηλωθὲν ἐκεῖνο ὑπὸ τοῦ ρηθέντος ἱερωτάτου μητροπολίτου Σταυρουπόλεως κύρ Ἰωαννικίου· καὶ μηδεὶς ἄλλος τῶν ἁπάντων ἔχῃ τινὰ μετοχὴν καὶ ὁτιοῦν δικαίωμα εἰς αὐτό, καὶ κυβερνᾶται καὶ διεξάγηται ὑπὸ τῶν διορισθέντων καὶ καταστὰθέντων ἐπιτρόπων κατὰ πάντας τοὺς ἀνωτέρω ἐκτεθέντας καὶ ἀπαριθμηθέντας ὅρους, τύπους τε καὶ κανόνας καὶ διατάξεις οὓς διετάξατο καὶ διώρισεν ὁ ρηθεὶς κτίτωρ κύρ Ἰωαννίκιος, φυλαττομένων μωσιῶν, ἐπισκευῶν, δαπανημάτων, προσόδων, εἰδικῶς ἀνωτέρω ἐν ἑπτὰ κεφαλαίοις διαταχθέντων, εἰς αἰῶνα τὸν ἅπαντα, καθὼς περιέχονται πλατύτερον καὶ σαφέστερον κἀν τῷ ἰδίῳ γράμματι ἀφιερωτικῷ τοῦ αὐτοῦ κτίτορος, ὅπερ ὀφείλει ἔχειν τὴν ἰσχὺν καὶ τὸ κῦρος, καὶ τὴν ἐνέργειαν μόνιμον καὶ ἀμετάθετον εἰς ἀεί. Ὅς δ' ἂν τις καὶ ὁποιος τολμήσῃ ποτὲ ἀνασκευᾶσαι καὶ ἀνατρέψαι τὴν ἀφιέρωσιν καὶ προσήλωσιν ταύτην τοῦ ἐν Βουκουρεστίῳ πανδοχείου εἰς τὴν ἐν τῇ Πωγωνιανῇ σεβασμίαν μονὴν τῶν παμμεγίστων Ταξιαρχῶν ἀποσπᾶσαι ἐκεῖθεν, ἢ τινὸς τῶν ἐν αὐτῷ πραγμάτων καὶ ἀφιερωμάτων κινητῶν ἢ ἀκινήτων ἐφάψασθαι καὶ διασεῖσαι τινὰ τῶν ἐκτεθεισῶν διατάξεων καὶ ὅλως ἐναντιωθέντα τῇ ἀφιερώσει ταύτῃ, καὶ τοῖς περιεχομένοις ἐν τῷ ἀφιερωτικῷ τοῦ ρηθέντος κτίτορος γράμματι, ὁποίας ὁ τοιοῦτος ἂν εἴη τάξεως καὶ βαθμοῦ, ἀφωρισμένος εἴη παρὰ θεοῦ κυρίου παντοκράτορος καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος, κ.τ.λ.

(Κῶδιξ Α' Κριτίου, σελ. 421-424.)

Δημόσια Καντρική Βιβλιοθήκη Κομοτηνής

Γ' ΠΑΤΡΙΑΡΧΙΚΑ ΓΡΑΜΜΑΤΑ ΑΠΟΚΑΤΑΣΤΑΣΕΩΣ ΗΓΟΥΜΕΝΩΝ ΚΑΙ ΦΡΟΝΤΙΣΤΩΝ ΕΙΣ ΤΑ ΜΟΝΑΣΤΗΡΙΑ ΓΚΟΥΡΑΣ, ΒΑΛΙΑΣ ΚΑΙ ΣΤΑΥΡΟΥΠΟΛΕΩΣ

1ον

Ἀνθίμου Δ'

Γράμμα ἀποκαταστατικὸν τοῦ Ἰωαννικίου Γκούρας

Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς πατριαρχικοῦ ἀποκαταστατικοῦ γράμματος δηλοποιεῖ, ὅτι τὸν ὁσιώτατον ἐν ἱερομονάχοις κὺρ Ἰωαννίκιον, τὸν μέλος καὶ κουρὰν ὄντα τοῦ κατὰ τὴν ἐπαρχίαν Πωγωνιανῆς καὶ Βελλᾶς πλησίον τῆς χώρας Ὀστανίτσης κειμένου ἱεροῦ καὶ σεβασμίου πατριαρχικοῦ αὐτῆς καὶ Σταυρουπηγιακοῦ μοναστηρίου καὶ τιμώμενον ἐπ' ὀνόματι τῶν Παμμεγίστων Ταξιαρχῶν καὶ ἐπιλεγομένου Γκούρας, ὡς κόσμιον τοῖς ἤθεσιν, ἱεροπρεπῆ τε καὶ ζηλωτὴν ἰδίας πατριαρχικῆς αὐτῆς χειρὸς προχειρισαμένη, ἀποκατέστησεν ἡγούμενον τούτου, ἐμπιστευσαμένη τῇ αὐτοῦ ὁσιότητι τὴν ἀρίστην διοίκησιν καὶ οἰκονομίαν τοῦτε κυριαρχικοῦ τούτου μοναστηρίου, καὶ τῶν συνημμένων αὐτῷ μετοχίων, κτημάτων τε καὶ πραγμάτων κινητῶν καὶ ἀκινήτων. Ὅστις ὀφείλει ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς προνοεῖν, καὶ ἀγρύπνοις ὄμμασιν ἐπισκέπτεσθαι καὶ ἐπιμελεῖσθαι τούτου, καὶ διακρατεῖν ἀπαραβάτους τὰς ἀρχαίας τάξεις, καὶ ἀδιαλείπτους τὰς ἱερὰς ἀκολουθίας τά τε σταυροπηγιακὰ προνόμια τῆς ἀρχαίας τάξεως αὐτοῦ φυλάττειν ἀπαράκρουστα καὶ πᾶσαν εὐρυθμίαν, εὐσχημοσύνην τῶν συνασκουμένων καλογήρων διατηρεῖν, ἐνδεικνυμένων αὐτῷ τὴν ὀφειλομένην ὑποταγὴν καὶ εὐπείθειαν, ὡς ἡγουμένῳ τοῦ κυριαρχικοῦ, καὶ ἅμα προστάττῃ καὶ φροντίζῃ τῶν μετοχίων αὐτοῦ καὶ μετὰ ζήλου καὶ προθυμίας ἐνεργεῖν τὰ πρὸς ὠφέλειαν, ἐπὶ τὰ πρόσω αὔξησιν καὶ βελτίωσιν αὐτοῦ καὶ διακρατεῖν καθαροὺς καὶ ἀκριβεῖς τοὺς λογαριασμοὺς ἁπάσης τῆς δοσοληψίας αὐτοῦ καὶ ἀποστέλλειν κατ' ἔτος πρὸς τὴν καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλην Ἐκκλησίαν ὡς ἔτακτε. Κατὰ δὲ τὴν περίληψιν τοῦ ἤδη ἐκδοθέντος Πατριαρχικοῦ καὶ Συνοδικοῦ Σιγγιλλιώδους ἐν μεμβράναις γράμματας ἀποδιδόναι ἔξεστι καθὰ καὶ οἱ διάδοχοι αὐτοῦ, πρὸς μὲν τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας πέντε χιλιάδας γρόσια λόγῳ ὑποταγῆς, πρὸς δὲ τὴν κατὰ τὴν χώραν Ὀστάνιτζαν σχολὴν λόγῳ ἐκπαιδεύσεως τῆς ἐν αὐτῇ νεολαίας πέντε ὡσαύτως χιλιάδας καὶ πέντε ἔτι χιλιάδας χάριν ἐλεῶν καὶ βοη-

Δημοσία κεντρική Βιβλιοθήκη Κόνιτσας

θείας ἐξηπορημένων ὁμογενῶν Χριστιανῶν τῆς αὐτῆς χώρας, ἐπὶ τῷ διανέμεσθαι πρὸς αὐτούς κατὰ μὲν τὴν ἑορτὴν τῆς κατὰ σάρκα τοῦ Σωτῆρος ἡμῶν γεννήσεως τὰς 2.500, κατὰ δὲ τὴν ἑορτὴν τῆς ἐκ νεκρῶν τριημέρου αὐτοῦ ἐξαναστάσεως τὰς λοιπὰς 2.500, ἅπερ δύο ποσά, ἤτοι τῆς σχολῆς καὶ τῶν Χριστιανῶν παραλαμβανόμενα τὰ παρὰ τῶν ἐγκριθησομένων καὶ διορισθησομένων ἐκκλησιαστικῶς ζηλωτῶν καὶ εὐσυνειδήτων ἐπιτρόπων, ἔχουσι διοικεῖσθαι παρ' αὐτῶν πρὸς ὠφέλειαν τῆς τὲ Σχολῆς καὶ τῶν ἁπανταχοῦ Χριστιανῶν τῆς ρηθείσης χώρας Ὀστανίτζας. Εἰς ἔνδειξιν οὖν ἐγένετο τὸ παρὸν ἡμέτερον πατριαρχικὸν ἀποκαταστατικὸν γράμμα καὶ ἐδόθη τῷ διαληφθέντι ἡγουμένῳ, ὁσιωτάτῳ ἐν Ἱερομονάχοις κὺρ Ἰωαννικίῳ.

ᾳωμ΄.

Ἐν μηνὶ Ὀκτωβρίῳ Ἰνδικτιῶνος ιδ΄.

2ον

Ἀνθίμου Ε΄

Ἱερώτατε Μητροπολίτα Πωγωνιανῆς καὶ Βελλᾶς καὶ τιμιώτατοι προεστῶτες καὶ λοιποὶ εὐλογημένοι Χριστιανοὶ κάτοικοι τῆς χώρας Ὀστανίτζης καὶ τῶν πέριξ αὐτῆς χωρίων.

Λαβόντες τὴν ἀξιόχρεον ἐκκλησιαστικὴν ἡμῶν πρόμοιαν ὑπὲρ τῆς ὠφελείας τοῦ αὐτόσε κειμένου ἱεροῦ ἡμετέρου Πατριαρχικοῦ καὶ Σταυροπηγιακοῦ Μοναστηρίου τῶν Ταξιαρχῶν τοῦ ἐπιλεγομένου τῆς Γκούρας καὶ τῶν ἐν Βλαχίᾳ μετοχίων αὐτοῦ Βάλιας καὶ Σταυρουπόλεως, ἐπειδὴ ὁ ἡγούμενος κὺρ Ἰωαννίκιος διαμένει εἰς Βουκουρέστιον πρὸς διοίκησιν καὶ διευθέτησιν τῶν εἰρημένων μετοχίων, κοινῇ Συνοδικῇ γνώμῃ, ἵνα μὴ μένῃ τὸ κυριαρχικὸν μετὰ τῶν κτημάτων του ἐστερημένον προσωπικῆς προστασίας διορισάμεθα εἰς τὴν ἡγουμενικὴν διοίκησιν τούτου, ὡς ἄξιον καὶ ἱκανόν, τὸν ἐνταῦθα συμμοναστηριακὸν κὺρ Ἄνθιμον ὅπως, ἐλθὼν εἰς τὰ αὐτόσε, ἀναλάβῃ τὴν προστασίαν τούτου καὶ διευθετῇ τὰς κτηματικὰς καὶ λοιπὰς μοναστηριακὰς ὑποθέσεις αὐτοῦ, ὥστε διὰ τῆς συμπράξεως τῶν δύο τούτων συναδέλφων τά τε γνήσια μοναστηριακὰ χρέη κατὰ μικρὸν νὰ ἐξοφληθῶσι καὶ τὰ ἱερὰ καταγώγια νὰ λάβωσι τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν, καὶ τὸ κυριαρχικὸν ἐν καιρῷ τῷ δέοντι νὰ τύχῃ τῆς ἀναγκαίας οἰκοδομῆς πρὸς ὁλοτελῆ κατάπαυσιν τῶν ἄχρι τοῦδε περὶ τῆς ὑποθέσεως ταύτης διατρεξάντων σκανδάλων. Ὅθεν γράφοντες ἐντελλόμεθα ὑμῖν ἐκκλησιαστικῶς, ὅπως φθάσαντα εἰς τὰ αὐτόσε τὸν διαληφθέντα κὺρ Ἄνθιμον, ἀναγνωρίσητε διωρισμένον ἤδη συνοδικῶς εἰς τὴν ἡγουμενικὴν διοίκησιν τοῦ κυριαρχικοῦ τούτου μοναστηρίου καὶ τῶν κτημάτων αὐτοῦ, ὅστις καὶ ἔχει συνεννοεῖσθαι διὰ παντὸς μετὰ τῆς ὁσιότητός του καὶ ἐν ὁμονοίᾳ, καὶ ἀγάπῃ ἀδελ-

Δημόσια Κεντρική Βιβλιοθήκη Κόνιτσας

φικῇ ἐνεργεῖν τὰ συμφέροντα τοῖς ἱεροῖς καταγωγίοις καὶ φροντίζειν περὶ τῆς κατὰ μικρὸν ἐξοφλήσεως τῶν γενναίων μοναστηριακῶν χρεῶν· ὥστε μετὰ ἀπὸ τούτου σὺν Θεῷ νὰ ἀνοικοδομηθῇ ἐν καιρῷ τῷ δέοντι καὶ τὸ κυριαρχικὸν μοναστήριον, διατηροῦντες ἀκέραια τὰ σταυροπηγιακὰ προνόμια τοῦ τε κυριαρχικοῦ καὶ τῶν ὑπαλλήλων αὐτῷ.—

ᾳωμα' Νοεμβρίου ζ'

3ον

Κυρίλλου Ζ'

Γράμμα ἀποκαταστατικὸν τοῦ Χρυσάνθου Γκούρας

Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς πατριαρχικοῦ ἀποκαταστατικοῦ Γράμματος δηλοποιεῖ ὅτι μετὰ τὴν ἀποβίωσιν τοῦ μακαρίτου Ἀνθίμου, ἡγουμένου τοῦ ἐν τῇ ἐπαρχίᾳ Πωγωνιανῆς παρὰ τῇ χώρα Ὀστανίτζῃ κειμένου ἱεροῦ ἡμετέρου Πατριαρχικοῦ καὶ Σταυροπηγιακοῦ Μοναστηρίου τῶν παμμεγίστων Ταξιαρχῶν, Γκούρας ἐπιλεγομένου, προνοίᾳ ἀξιοχρέῳ κεκινημένη. Ἐπειδὴ ἐκ τε κοινῶν ἀναφορῶν τῶν χριστιανῶν κατοίκων τῆς ρηθείσης χώρας καὶ ἐκ τῆς αὐτοπροσώπου παρατηρήσεως κατιδοῦσα τὸν ὁσιώτατον ἐν ἱερομονάχοις κὺρ Χρύσανθον, μέλος καὶ κῦρος ὄντα τῆς αὐτῆς Ἱερᾶς Μονῆς, ἄνδρα κόσμιον τοῖς ἤθεσι καὶ ἱεροπρεπῆ καὶ ζῆλον τρέφοντα ὑπὲρ τῆς μετανοίας αὐτοῦ, ἐνέκρινε μὲν συνωδὰ καὶ τῇ γνώμῃ τῶν ἐκεῖσε πατέρων καὶ ἀποκατέστησε γνήσιον διάδοχον καὶ κανονικὸν ἡγούμενον τοῦ ρηθέντος ἱεροῦ μοναστηρίου τῶν Ταξιαρχῶν, Γκούρας ἐπιλεγομένου, καὶ ἰδίας αὐτῇ πατριαρχικῆς χειρὸς προεχειρίσατο Ἀρχιμανδρίτην τοῦ κατ' αὐτὴν Ἁγιωτάτου [Πατριαρχικοῦ καὶ Οἰκουμενικοῦ θρόνου. Ἐφ' ᾧ καὶ γράφουσα ἀποφαίνεται, ἵνα ὁ διαληφθεὶς ὁσιώτατος ἐν ἱερομονάχοις κύρ Χρύσανθος, ὁ ἤδη κανονικῶς διορισθεὶς ἡγούμενος τοῦ ἱεροῦ ἡμετέρου Πατριαρχικοῦ καὶ Σταυροπηγιακοῦ Μοναστηρίου τῶν παμμεγίστων Ταξιαρχῶν, ἐπιλεγομένου τῆς Γκούρας, ὑπάρχῃ καὶ λέγεται καὶ παρὰ πάντων γινώσκεται Ἀρχιμανδρίτης τοῦ Οἰκουμενικοῦ Θρόνου καὶ ἔχῃ ἐφ' ὅρου ζωῆς τὸ ὀφφίκιον τοῦτο, προηγούμενος τῶν λοιπῶν ἀρχιμανδριτῶν τῶν μὴ ἐχόντων ἐξαρχικὴν χειροθεσίαν, οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν ἀνήκουσαν αὐτῷ ὑποχρέωσιν νὰ διοικῇ τὸ μοναστήριον τοῦτο μετὰ ζήλου, προνοῶν ὑπὲρ τῆς αὐξήσεως καὶ βελτιώσεως αὐτοῦ καὶ ὑπὲρ τῶν ἄλλων συμφερόντων αὐτοῦ τε καὶ τῶν ἐν Βλαχίᾳ Μετοχίων αὐτοῦ Βάλλιας καὶ Σταυρουπόλεως καὶ βαδίζων ἐν πᾶσι κατὰ τὴν ἔννοιαν τοῦ ἤδη ἐκδοθέντος ἡμετέρου πατριαρχικοῦ καὶ Συνοδικοῦ σιγγιλλιώδους ἐν μεμβράναις Γράμματος, ἐν ἀκριβεῖ καὶ ἀπαραβάτῳ διατηρήσει τῶν ἐν αὐτῷ κεφαλαιωδῶς ὁριζομένων, γενόμενος τέλειον παράδειγμα ἀρετῆς καὶ εὐσχημοσύνης. Ὅθεν εἰς ἔνδειξιν ἐπεδόθη καὶ τὸ παρὸν ἡμέ-

Δημοσία Κεντρική Βιβλιοθήκη Κόνιτσας

τερον πατριαρχικὸν ἀποκαταστατικὸν Γράμμα τῷ ρηθέντι Ἀρχιμανδρίτῃ κὺρ Χρυσάνθῳ ἡγουμένῳ τοῦ ἱεροῦ πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ Μοναστηρίου τῶν Ταξιαρχῶν, ἐπιλεγομένου τῆς Γκούρας.

ᾳωνζ' κατὰ μῆνα Μάϊον.

4ον

Κυρίλλου Ζ'

Γράμμα ἀποκαταστατικὸν τοῦ Ἰγνατίου Γκούρας

Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς Πατριαρχικοῦ ἀποκαταστατικοῦ γράμματος δηλοποιεῖ, ὅτι μετὰ τὴν ἀποβίωσιν τοῦ μακαρίτου Χρυσάνθου, Ἡγουμένου τοῦ ἐν τῇ ἐπαρχίᾳ Πωγωνιανῆς παρὰ τῇ χώρᾳ Ὀστανίτζης κειμένου ἱεροῦ καὶ σεβασμίου Πατριαρχικοῦ καὶ Σταυροπηγιακοῦ Μοναστηρίου τῶν Ταξιαρχῶν, ἐπιλεγομένου τῆς Γκούρας, προνοίᾳ ἀξιοχρέῳ κεκινημένη. Ἐπειδὴ ἐκ τῶν κοινῶν ἀναφορῶν τῶν Χριστιανῶν κατοίκων τῆς ρηθείσης χώρας καὶ ἐκ τῆς αὐτοπροσώπου παρατηρήσεως κατιδοῦσα τὸν ὁσιώτατον ἐν ἱερομονάχοις κὺρ Ἰγνάτιον φρονήσει καὶ σεμνότητι συγκεκροτημένον καὶ κόσμιον τοῖς ἤθεσι καὶ ἱεροπρεπῆ τὸν ζῆλον τρέφοντα ὑπὲρ τοῦ ἱεροῦ αὐτοῦ σκηνώματος, καὶ διὰ ταῦτα διώρισεν ἤδη καὶ ἀποκατέστησεν τὴν αὐτοῦ ὁσιότητα γνήσιον καὶ κανονικὸν ἡγούμενον τοῦ ρηθέντος Ἱεροῦ Μοναστηρίου τῶν Ταξιαρχῶν, ἐμπιστευσαμένη αὐτῷ τὴν προστασίαν αὐτοῦ καὶ διακυβέρνησιν καὶ τὴν καλὴν διοίκησιν τῶν κτημάτων αὐτοῦ καὶ πραγμάτων κινητῶν τε καὶ ἀκινήτων, ἐν ἐλπίσιν χρησταῖς τῆς διατηρήσεως τῆς μοναστηριακῆς αὐτοῦ εὐκοσμίας. Ἐφ' ᾧ καὶ γράφουσα ἀποφαίνεται, ἵνα ὁ διαληφθεὶς ὁσιώτατος ἐν ἱερομονάχοις κὺρ Ἰγνάτιος ὑπάρχει τὸ ἀπὸ τοῦδε καὶ λέγεται γνήσιος καὶ κανονικὸς ἡγούμενος τοῦ ἱεροῦ Πατριαρχικοῦ καὶ Σταυροπηγιακοῦ Μοναστηρίου τῶν Ταξιαρχῶν, τοῦ ἐπιλεγομένου Γκούρας καὶ ἔχει ὁλοσχερῶς τὴν διοίκησιν καὶ κυβέρνησιν αὐτοῦ ἐσωτερικήν τε καὶ ἐξωτερικὴν μετὰ καὶ τῶν ἐν Βλαχία μετοχίων αὐτοῦ Βάλλιας καὶ Σταυρουπόλεως, ὀφείλων νὰ ἀποστέλλῃ ἐγκαίρως καὶ τὸ λόγῳ ὑποταγῆς τεταγμένον ἐτήσιον πρὸς τὸ κοινὸν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.

ᾳωνη' κατὰ μῆνα Ἰούνιον.

Δημοσία κεντρική Βιβλιοθήκη Κόνιτσας

5ον

Κυρίλλου Ζ'

Ἱερώτατε Μητροπολίτα Οὐγγροβλαχίας κὺρ Νήφων

Ἐπειδὴ οἱ αὐτόθι τέως ἡγουμενεύοντες ἐν τοῖς ἱεροῖς Μοναστηρίοις Βάλλιας καὶ Σταυρουπόλεως τοῖς ἐξαρτωμένοις ἐκ τοῦ κατὰ τὴν ἐπαρχίαν Πωγωνιανῆς κειμένου ἱεροῦ ἡμετέρου Πατριαρχικοῦ καὶ Σταυροπηγιακοῦ Μοναστηρίου τῶν Ταξιαρχῶν, τοῦ ἐπιλεγομένου τῆς Γκούρας, ἤτοι ὁ μὲν Ἀρχιμανδρίτης Λεόντιος εἰς τὸ τῆς Σταυρουπόλεως, ὁ δὲ Ἀρχιμανδρίτης Ἰωαννίκιος εἰς τὸ τῆς Βάλλιας ἀπειθεῖς φανέντες εἰς τὰς κυριαρχικὰς διαταγὰς καὶ ἐπιβλαβεῖς εἰς τὰ συμφέροντα τῆς μετανοίας των, ἐπαύθησαν τῶν ἡγουμενιῶν, μέχρι δὲ τῆς ἀποκαταστάσεως καὶ ἀποστολῆς γνησίων καὶ κανονικῶν ἡγουμένων ὑπὸ τῆς κυριαρχικῆς Μονῆς, διορίζονται ἤδη προσωρινοὶ φροντισταὶ ἀπό κοινοῦ εἰς τὰ εἰρημένα μετόχια, ὅτε ὁσιώτατος ἡγούμενος Μιχαὴλ βόδα κὺρ Πολύκαρπος καὶ ὁ ὁσιώτατος ἡγούμενος Μποτοΐου κὺρ Ἀμβρόσιος αὐτόθι διετελοῦντες ἀμφότεροι. Διὰ τοῦτο διευθύνοντες τῇ ὑμετέρᾳ ἱερότητι τὸ παρὸν πατριαρχικὸν γράμμα ἀξιοῦμεν αὐτήν, ὅπως ἀγαθυνθῇ καὶ συντελέσῃ ἀρχιερατικῶς, ἵνα ἀναγνωρισθῶσιν οὗτοι φροντισταὶ προσωρινοὶ τῶν εἰρημένων Μετοχίων Βάλλιας καὶ Σταυρουπόλεως καὶ λάβωσιν ἀπὸ τῶν χειρῶν τῶν πεπαυθέντων ἡγουμένων Λεοντίου καὶ Ἰωαννικίου πάντα τὰ Μοναστηριακὰ κειμήλια, ἔγγραφα καὶ οἱαδήποτε ἄλλα σκεύη καὶ πράγματα, ἵνα παραδώσωσι ταῦτα εἰς τοὺς νέους ἡγουμένους ἐν τῇ ἐλεύσει αὐτῶν, εἰς οὓς ὡσαύτως θέλουσι παραδοθῇ τὰ εἰσοδήματα τοῦ τρέχοντος ἔτους συναγόμενα ἤδη, καὶ παρακατιθέμενα εἰς τὸ Ὑπουργεῖον τῶν ἐκκλησιαστικῶν. Οὐχ ἧττον δὲ ἀξιοῦμεν ὅπως παρέχῃ καὶ τοῦ λοιποῦ τὴν ἔντονον αὐτῆς προστασίαν τοῖς εἰρημένοις προσωρινοῖς φροντισταῖς.

ᾳωξ' Μαρτίου κή'

Ὁμοία δὲ αὐτῆς ἐγένετο καὶ μία πρὸς τὸν Ἡγεμόνα καὶ πρὸς τὸν Λογοθέτην τῶν ἐκκλησιαστικῶν, ἑτέρα κύριον Ἀλέξανδρον Γκολέσκου μὲ τὴν ἰδίαν ἡμερομηνίαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Κόντος

6ον

Κυρίλλου Ζ'

Ἱερώτατε Μητροπολίτα Οὐγγροβλαχίας κὺρ Νήφων

